† Ὁ ταπεινὸς μοναχὸς Νικόλαος καὶ ἀνάξιος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης †.

*Archetypum chart. cum plumbea bulla, in cuius altera parte est imago Sanctae Virginis sedentis in throno et tenentis in sinu infantem Iesum, ex altera vero literae* ΝΙΚΟΛΑΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ. · *Flor. II. nro 17.*

[1]) Non exstant.

## XI. [6595—1087], die 15. mensis iunii, ind. X.

*Anna Ducaena Dalassena, mater imperatoris Alexii I. Comneni, confirmat donationes a filio factas Sancto Christodulo et permutationem bonorum monasterii Pantepopti iubetque omnia referri in acta publica Myrelaei.*

Τὸ ἴσον τοῦ δεσποινικοῦ πιττακίου τοῦ καταπεμφθέντος εἰς τὸ σέκρετον τοῦ Μυρελαίου καὶ καταστρωθέντος εἰς μῆνα ἰούνιον ιε΄, ἡμέρᾳ τρίτῃ, ἰνδικτιῶνος δεκάτης.

† Ὁ περιπόθητός μου υἱὸς καὶ κράτιστος βασιλεὺς ἐδωρήσατο κατὰ τελείαν καὶ ἀναφαίρετον δεσποτείαν διὰ χρυσοβούλλου λόγου αὐτοῦ τῷ τε τιμιωτάτῳ μοναχῷ Χριστοδούλῳ τῷ Λατρηνῷ καὶ τῇ ἐξ αὐτοῦ συστάσῃ μονῇ τῆς παναχράντου μου δεσποίνης καὶ θεομήτορος, τό τε νησίδιον τὴν Λειψὼ ἐξ ὁλοκλήρου, καθώς ἐστι, καὶ ἀπὸ τῆς νήσου Λέρου τὸ προάστειον τὸ Παρθένιον, καὶ τὸ προάστειον τὰ Τεμένεια, μετὰ πάσης αὐτῶν τῆς περιοχῆς καὶ διακρατήσεως, ἔτι δὲ καὶ τὸ ἥμισυ τοῦ κάστρου τοῦ Παντελιοῦ ἐπονομαζομένου, παραχωρησάσης τῆς βασιλείας ἡμῶν τῷ τιμιωτάτῳ τούτῳ καὶ εὐλαβεῖ μοναχῷ τῆς αὐτῶν χρήσεως. ἐξεβλήθη δὲ καὶ προστάξει αὐτοῦ καὶ τὰ ὀνόματα καὶ τὰ τέλη τούτων τελείως ἀπὸ τοῦ ὀφείλοντος δοθῆναι πρακτικοῦ ἐν τῷ καθ' ὑμᾶς σεκρέτῳ, ὡς ἂν μήτε νῦν παρεκβληθῶσι παρ' ὑμῶν καὶ δοθῶσι τῷ μέλλοντι ποιήσασθαι τὴν ἀναγραφὴν τῶν λοιπῶν, μήτε εἰς τὸ ἑξῆς παρεκβάλλωνται, ἀλλὰ κατέχωσι ταῦτα οἱ μοναχοὶ ἀτελῶς τε καὶ ἀβαρῶς, καθὼς ὁ περὶ τούτων ἀπολυθεὶς χρυσόβουλλος λόγος διαλαμβάνει σαφέστερον, μόνης παραδόσεως τούτων προβῆναι ὀφειλούσης παρὰ τοῦ πατρικίου Εὐσταθίου καὶ ἀνθρώπου ἡμῶν· εἰ τάχα γὰρ καὶ πρόσταξις ἑτέρα κατεπέμφθη τῷ καθ' ὑμᾶς σεκρέτῳ περὶ τούτων, διεξιοῦσα ἐξ ὁλοκλήρου τὴν νῆσον Λέρον δοθῆναι τῷ Μυρελαίῳ κατὰ τρόπον ἀνταλλαγῆς, πρὸς δὲ καὶ τὴν Λειψὼ καὶ τὴν Φαρμακόν, καὶ καθὼς ταύτας ἡ τοῦ Παντεπόπτου κατεῖχε μονή, ἀλλ' ἐπεὶ εὐδόκησεν ὁ περιπόθητός μου υἱὸς καὶ βασιλεὺς δωρηθῆναι τὰ προδιαληφθέντα ἄνωθεν τῷ εὐλαβεῖ μοναχῷ Χριστοδούλῳ, ἀποδεκτέαν ἡγησαμένη καὶ ἡ βασιλεία

ἡμῶν τὴν τοιαύτην αὐτοῦ πρόθεσιν, μᾶλλον δὲ καὶ ὑπεραποδεξαμένη τοῦτον τοῦ θείου τούτου σκοποῦ καὶ θεοφιλοῦς, παρακεχώρηκε καὶ αὕτη τῆς τούτων νομῆς τῷ μοναχῷ, καὶ τῷ πλείονι προσέθετο καὶ τὸ ἔλαττον. ἐφ' ᾧ καὶ κελεύει σοι, βασιλικὲ νοτάριε καὶ ἀντιπροσωπῶν ἐν τῷ σεκρέτῳ τοῦ οἴκου μου τοῦ Μυρελαίου, λαβόντα εἴδησιν τῆς τοιαύτης οἰκονομίας καὶ δωρεᾶς τῆς βασιλείας ἡμῶν, καταστρῶσαι μὲν καὶ τὸν ἐπιβραβευθέντα τῷ μοναχῷ Χριστοδούλῳ χρυσόβουλλον λόγον τοῦ περιποθήτου μου υἱοῦ καὶ βασιλέως, ὡς ἂν ὑπάρχῃ εἴδησις τῷ κατὰ σε σεκρέτῳ τῶν ἐν αὐτῷ ᾠκονομημένων, καταστρῶσαι δὲ καὶ τὸ παρὸν πιττάκιον, καὶ μηκέτι ἐπιζητεῖν ἢ τέλος ἢ πάκτον ἢ ἑτέραν τινὰ πρόσοδον ἀπὸ τῶν ἀνωτέρω τεθέντων πρὸς ὄνομα προαστείων, τοῦ νησίου τῆς Λειψοῦς καὶ τοῦ ἡμίσεος κάστρου τοῦ Παντελίου· πάντα γάρ, ὅσα δ' ἂν καὶ ὦσι τὰ ἐκεῖθεν ὀφείλοντα προσπορίζεσθαι τῷ σεκρέτῳ, ἀπεχαρίσθησαν τῇ τοῦ λόγου μητρὶ καὶ τῷ πολλάκις προμνημονευθέντι μοναχῷ Χριστοδούλῳ, μᾶλλον μὲν οὖν ποιῆσαι καὶ ἴσον τοῦ παρόντος πιττακίου καὶ ὑπογράψαι ἐν αὐτῷ μετὰ τῶν ὑπό σε σεκρετικῶν καὶ δοῦναι τούτῳ εἰς ἀσφάλειαν †. τὸ μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ι', διὰ γραμμάτων τοῦ βεστάρχου Μιχαὴλ τοῦ Μαχητάρη, καὶ ἡ διὰ κηροῦ σφραγὶς τῆς ἁγίας ὑμῶν δεσποίνης †.

† Χρύσανθος, νοτάριος τοῦ γηροτροφείου, ὁ ἐκπροσωπῶν ἐν τῷ οἴκῳ τοῦ Μυρελαίου †.

† Ἰωάννης, πρωτοβεστάρχης καὶ νοτάριος τοῦ αὐτοῦ σεκρέτου, ὁ Πανάρετος †.

† Νικόλαος, βέστης καὶ βασιλικὸς νοτάριος τοῦ αὐτοῦ σεκρέτου, ὁ Στηθᾶτος †.

† Μιχαήλ, νοτάριος τοῦ αὐτοῦ σεκρέτου, ὁ Λακτεντίτζης †.

† Μιχαήλ, ὁ ἐλάχιστος διάκονος καὶ μεσοκελλαρίτης τοῦ Μυρελαίου, εἰς πρόσωπον Νικολάου πρωτοβεστάρχου καὶ μεγάλου χαρτουλαρίου, τοῦ Μαδυτηνοῦ, ὑπέγραψα †.

† Βασίλειος, πραιπόσιτος ἐπὶ τοῦ κοιτῶνος καὶ χαρτοφύλαξ τοῦ αὐτοῦ σεκρέτου [ἐκ] προσώπου Κωνσταντίνου πραιποσίτου καὶ νοταρίου καὶ Λέοντος πραιποσίτου καὶ χαρτουλαρίου καὶ μετοχίου Λακαπίου, τῶν ἀνθρώπων τῆς ἁγίας ἡμῶν δεσποίνης, ὑπέγραψα †.

† Ἰωάννης .... καὶ ἐπὶ τοῦ κοιτῶνος ὁ Σουμν .... ὑπέγραψα [ἐκ] προσώπου Ἰωάννου δισυπάτου νοταρίου τοῦ Βαρβηνοῦ †.

*Exemplar. Flor. uro 48 et 50 γ. Edidit M. J. Gedeon in periodico citato p. 5 et 6.*

## XII. 6595—1087, mense iulio, ind. X, et 6597—1089, mense aprili, ind. XII.

*Eustathius Charsianita, provisor insulae Sami, iussu imperatoris Alexii I. Comneni et matris eius procuratoribus Sancti Christoduli per notarios Ioannem Antzam et Ioannem Theologitam tradit castrum Pantelium et duo praedia in insula Lero et totam insulam Lipso secundum donationem Sancto factam ab imperatore.*

**Τὸ ἴσον τοῦ πρακτικοῦ τῆς Λειψὼ καὶ τῶν ἐν τῇ Λέρῳ δύο προαστείων, τοῦ τε Παρθενίου καὶ τῶν Τεμενίων, πρὸς δὲ καὶ τοῦ ἡμίσεος κάστρου τοῦ Παντελίου.**

† Κατὰ τὸν ἰούλιον μῆνα τῆς ἐνισταμένης δεκάτης ἰνδικτιῶνος τοῦ ζφϟε΄ τιμία καὶ βασιλικὴ πρόσταξις τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως καὶ τῆς ἁγίας ἡμῶν δεσποίνης καὶ μητρὸς τῆς κραταιᾶς καὶ ἁγίας αὐτοῦ βασιλείας προεκομίσθη τῷ ἀναξίῳ δούλῳ αὐτῶν, ἐμοὶ Εὐσταθίῳ, στρατηγῷ καὶ προνοητῇ Σάμου, τῷ Χαρσανίτῃ παρὰ Γερασίμου, Νεοφύτου καὶ Λεοντίου τῶν μοναχῶν τῶν ἀπὸ τῆς μονῆς τοῦ ὁσιωτάτου κυροῦ Χριστοδούλου, διοριζομένη οὑτωσὶ κατὰ ῥῆμα·

† Τὴν νῆσον τὴν Λειψώ, τό τε ἥμισυ τοῦ Παντελίου τοῦ κάστρου ἐπονομαζομένου, ὅσον δηλονότι ἀνωφερέστερόν ἐστι, ἐν ᾧ καὶ ἡ ἐκκλησία ἵσταται καὶ τὸ περιτείχισμα, καὶ τὰ δύο προάστεια, τό τε Τεμένειον καὶ τὸ Παρθένιον, τὰ κατὰ τὴν νῆσον Λέρον τυγχάνοντα, ἐδωρήσατο ἡ βασιλεία μου κατὰ τελείαν καὶ ἀναφαίρετον δεσποτείαν τῷ μοναχῷ Χριστοδούλῳ καὶ ἡσυχαστῇ τῷ Λατρηνῷ μετὰ πάσης αὐτῶν τῆς περιοχῆς καὶ διακρατήσεως καὶ καθὼς εἰσιν ἐξ ὁλοκλήρου· ἐξέκοψε δὲ καὶ τὰ ἐπικείμενα τούτοις τέλη, καὶ διωρίσατο ἀποφέρεσθαι ταῦτα τοὺς μοναχοὺς ἀπ᾽ αὐτῆς ἀρχῆς τῆς παρούσης δεκάτης ἰνδικτιῶνος καὶ ἐπὶ τὰ ἔμπροσθεν, καὶ εἰς φωταψίαν ἔχειν τῆς πανάγνου καὶ θεομήτορος καὶ διατροφὴν αὐτῶν· καὶ κελεύει σοι, λαβόντα εἴδησιν τῆς παρούσης δωρεᾶς, ποιήσασθαι τὴν τῶν κτημάτων παράδοσιν πρὸς τὸ μέρος τῆς μονῆς κατὰ τὸ πεμφθέν σοι περὶ τούτου πιττάκιον τῆς ἁγίας μου δεσποίνης καὶ περιποθήτου μου μητρός, περιθάλπειν τε ταῦτα καὶ ἐξκουσσεύειν ἀπὸ πασῶν τῶν ἐπηρειῶν, κατὰ τὴν δύναμιν τοῦ ἐπιβραβευθέντος αὐτῷ χρυσοβούλλου τῆς ἡμῶν γαληνότητος. μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος ι΄ †.

† Ἀπελύθη μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ι΄, ἀπὸ τῆς θεοφρουρήτου Πόλεως, ἐκ τῆς δεσποίνης τῆς μητρὸς τοῦ βασιλέως εἰς τὸ πατρίκιον Εὐστάθιον καὶ στρατηγὸν Σάμου, τὸν Χαρσιανίτην.

† Τὴν νῆσον τὴν Λειψώ, τό τε ἥμισυ τοῦ κάστρου τοῦ καλουμένου Παντελίου, ὅσον δηλονότι ἀνωφερέστερόν ἐστιν, ἐν ᾧ καὶ ἡ ἐκκλησία ἵσταται καὶ τὸ

περιτείχισμα, καὶ τὸ προάστειον τὸ Τεμένιον καὶ τὸ Παρθένιον, τὰ κατὰ τὴν νῆσον Λέρον τυγχάνοντα, ἐδωρήσατο ὁ περιπόθητός μου υἱὸς καὶ βασιλεὺς τῷ μοναχῷ Χριστοδούλῳ καὶ ἡσυχαστῇ τῷ Λατρηνῷ κατὰ τελείαν καὶ ἀναφαίρετον δεσποτείαν, μετὰ πάσης αὐτῶν τῆς περιοχῆς καὶ διακρατήσεως καὶ καθὼς εἰσιν ἐξ ὁλοκλήρου, προσεδωρήσατο δὲ τούτῳ ἡ βασιλεία ἡμῶν καὶ τὴν πρόσοδον τούτων ἅπασαν, οἵα καὶ ὅση ἐστί. καὶ κελεύει σοι, εἴδησιν λαβόντα τῆς πρὸς τὸν μοναχὸν δωρεᾶς καὶ τοῦ ἐπιβραβευθέντος αὐτῷ χρυσοβούλλου περὶ τούτων παρὰ τοῦ κρατίστου μου βασιλέως καὶ περιποθήτου υἱοῦ, ποιήσασθαι τὴν τούτων παράδοσιν πρὸς τὸ μέρος τῆς κατ' αὐτὸν μονῆς ἐξ ὁλοκλήρου, καθὼς εἰσι, μετὰ πάσης αὐτῶν τῆς περιοχῆς καὶ διακρατήσεως. εἰ τάχα γὰρ καὶ ἐνταλματικῶς διώρισταί σοι πάντων ἀναγραφὴν ἠκριβωμένην ποιήσασθαι καὶ εἴδησιν δοῦναι περὶ τούτων τῷ σεκρέτῳ λεπτομερῆ, ἀλλ' οὐκ ὀφείλεις ἀναγράψασθαι ταῦτα, οὔτε μὴν ἐν τῷ πρακτικῷ τῆς ἀναγραφῆς ἐνθεῖναι τὸ σύνολον, ὅτιπερ οὐδ' ἐν τῷ σεκρετικῷ πρακτικῷ ἀνάγραπτα ταῦτα τυγχάνουσιν, ἀλλ' ἐξεβλήθησαν ἐξ ἐκείνου παντελῶς, ὡς δωρηθέντα τῷ μοναχῷ μετὰ τῆς προσούσης αὐτοῖς προσόδου καὶ αὐτοῦ τοῦ τέλους τῆς παρούσης ἰνδικτιῶνος. παράδοσον οὖν αὐτὸς ταῦτα τῷ μέρει τῆς μονῆς, ὡς διέστικται ἄνωθεν, καὶ ποίησον καὶ πρακτικὰ δύο τῆς αὐτῶν παραδόσεως ἠκριβωμένα καὶ λελογισμένα· καὶ τούτων τὸ μὲν ἓν ἐπίδος τοῖς μοναχοῖς εἰς ἀσφάλειαν, τὸ δὲ ἕτερον ἀπόστειλον εἰς τὸ σέκρετον, ὀφεῖλον ἀποτεθῆναι ἐν αὐτῷ δι' εἴδησιν τῶν παραδοθέντων τῷ μέρει τῆς μονῆς. ἔσο δὲ εἰδώς, ὡς οὔτε κατὰ τὴν παροῦσαν ἰνδικτιῶνα ὀφείλεις ἀπαιτῆσαί τι ἐξ αὐτῶν, οὔτε εἰς τὸ ἑξῆς, οὔτε ἀπὸ τῶν χωρίων, οὔτε ἀπὸ τῆς μονῆς, χάριν τέλους αὐτῶν ἢ πάκτου τοῦ οἱουοῦν χρήσεως ἀναλαμβάνεσθαι, οὔτε σὺν εἰσόδῳ εἰς ταῦτα εἰσέρχεσθαι, ἀλλὰ μᾶλλον καὶ τοὺς λοιποὺς ἀπελαύνειν ἐκείνων πόρρωθεν, καὶ διατηρεῖν ταῦτα ἀνεπηρέαστα καὶ ἀκαινοτόμητα καὶ πάσης ἀγγαρείας ἀνώτερα. καὶ ὡς ἡ τῷ σεκρέτῳ εἴδησις τῶν δωρισμένων, κατεστρώθη ἐν τῷ αὐτῷ τοῦ Μυρελαίου σεκρέτῳ καὶ ἡ παροῦσα τῆς βασιλείας ἡμῶν πρόσταξις. μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ι'. καὶ ἡ διὰ κηροῦ συνήθης σφραγὶς τῆς ἁγίας ἡμῶν δεσποίνης.

Οὕτως οὖν καὶ ἀμφοτέρων τῶν θείων καὶ προσκυνητῶν προστάξεων διακελευομένων μοι τῷ δηλωθέντι Εὐσταθίῳ στρατηγῷ, προνοητῇ Σάμου, τῷ ἀναξίῳ δούλῳ τῆς ἁγίας αὐτῶν βασιλείας, δι' ἀποστολῆς καὶ ἐνεργείας Ἰωάννου νοταρίου τοῦ Ἀντζᾶ ἐποιησάμην τὴν παράδοσιν τοῦ ἡμίσεος κάστρου τοῦ λεγομένου Παντελίου σὺν τοῖς δυσὶ προαστείοις, τῷ τε Τεμενίῳ καὶ τῷ Παρθενίῳ, ἔτι δὲ καὶ τῆς νήσου τῆς Λειψῶ ἐξ ὁλοκλήρου πρὸς τοὺς λεχθέντας μοναχούς, τόν τε Γεράσιμον δηλαδή, Νεόφυτον καὶ Λεόντιον, τοὺς ἀπὸ τῆς μονῆς τοῦ κυροῦ Χριστοδούλου.

Κάστρον τὸ Παντέλιον· ἤγουν τὸ ἥμισυ τοῦ τοιούτου κάστρου, τὸ ἀνωφερέστερον δηλονότι, μετὰ τοῦ περιτειχίσματος αὐτοῦ καὶ τῆς ἐντὸς τούτου τυγχανούσης ἐκκλησίας καὶ τῶν κελλίων. Προάστειον τὸ Παρθένιον· ἔστιν ὁ περιορισμὸς τοῦ τοιούτου προαστείου οὕτως· ἄρχεται ἀπὸ τὴν στράταν τὴν Κατερχομένην ἀπὸ τοῦ ἀγροῦ τῶν Κουρουνῶν καὶ ἀπερχομένην εἰς τὸν αἰγιαλόν, ἐν ᾗ καὶ λιθοσωρεία ὑπάρχει· εἶτα περνᾷ τὴν ἐλαίαν τὴν ἱσταμένην μέσον τῆς Καγκέλης καὶ ἀνατρέχει κατ' εὐθεῖαν καὶ ἔρχεται εἰς τὴν Πλάκα, ἐν ᾗ καὶ σταυρὸς ἐνεχαράχθη παρ' ἡμῶν, σχοινία α'. εἶθ' οὕτως ἀπέρχεται κατ' εὐθεῖαν καὶ ἔρχεται εἰς τοὺς 'Οξεῖς Λίθους, ἐν οἷς καὶ σταυρὸς γέγονε παρ' ἡμῶν, σχοινία λ'. εἶτα κατέρχεται τὸ μονοπάτιον καὶ εἰσέρχεται τὸν ῥύακα τὸν διαιροῦντα, ὡς πρὸς μὲν νότον, τὰ δίκαια τοῦ προαστείου Στροβήλου, ὡς πρὸς βορρᾶν δὲ τὰ δίκαια τοῦ περιοριζομένου τόπου. εἶθ' οὕτως κατέρχεται τὸν αὐτὸν ῥύακα καὶ ἀκουμβίζει εἰς τὸ Λιθάριον, ἐν οἷς καὶ σταυρὸς γέγονε παρ' ἡμῶν, σχοινία κ'. εἶτα ἐκνεύει ὀλίγον, κρατῶν τὴν στράταν στράταν τὴν ἐρχομένην ἀπὸ τοῦ Θωμᾶ ἕως τὴν κεφαλὴν τῶν Πρίνων καὶ τῶν Ἄσπρων Λίθων, ἔνθα καὶ σταυρὸς παρ' ἡμῶν γέγονε, σχοινία κζ'. κρατεῖ δὲ τὴν αὐτὴν στράταν καὶ ἔρχεται εἰς τὴν Μεγάλην Κινστέρναν, σχοινία λ'. κρατεῖ πρὸς νότον τὸ πλάγι πλάγι, κατέρχεται εἰς τὴν Μεγάλην Λαγγάδα, καὶ ἀκουμβίζει εἰς τὴν θάλασσαν, διαιρῶν πρὸς μὲν νότον τὰ δίκαια τῆς Στροβήλου, πρὸς βορρᾶν δὲ τοῦ περιοριζομένου τόπου τοῦ Παρθενίου, σχοινία λ'. εἶτα περνᾷ τὸ ἀκρωτήριον τοῦ Κόρακος, κρατεῖ τὸν αἰγιαλὸν αἰγιαλόν, καὶ ἔρχεται εἰς τὸ Λινοβρόχι καὶ εἰς τὴν ἐκεῖσε ἱσταμένην μαύρην πέτραν, σχοινία σμδ'. καὶ ἀνέρχεται κατ' εὐθεῖαν, καὶ ἀπέρχεται εἰς τὴν στράταν τὴν ἐρχομένην ἀπὸ τοῦ ἀγροῦ τῶν Κουρουνῶν καὶ εἰς τὴν λιθοσωρείαν τὴν ἄνωθεν τῆς Καγκέλης, ὅθεν καὶ ἤρξατο, σχοινία νγ'. ἔσωθεν δὲ τοῦ τοιούτου περιορισμοῦ εὑρέθη γῆ σπόριμος μοδίων υθ', ἡ δὲ λοιπή, ὀρεινή, νομαδιαία καὶ δασώδης. ἐκκλησία τοῦ αὐτοῦ προαστείου, ὁ ἅγιος Γεώργιος, λιθοπηλόκτιστος, ὑποκέραμος, ἀζωγράφιστος, δρομική, καὶ ἅγιαι εἰκόνες ε', τραπεζοφόριον ἄσπρον λινόν. φρέαρ τὸ λεγόμενον Ποτιστήριον· ἀμπελοκήπιον . . . . . . . ἔχον ἐντὸς πηγὴν ὕδατος, ἀναδενδράδας γ', ῥοΐδιαν α', ἐλαίας β', ἑτέρας ἐλαίας τοῦ ὅλου προαστείου ἡμέρους ρν', καὶ ἀγριοελαίας διαφόρους, δρῦς ε', συκαμινέαν α', γλυκοξυλέας κδ', ἀπιδίας γ'.

Προάστειον τὰ Τεμένια. ἔστιν ὁ περιορισμὸς τοῦ τοιούτου προαστείου οὕτως· ἄρχεται ἀπὸ τὸν αἰγιαλὸν τῆς θαλάσσης τὸν λεγόμενον Μαλλωτάρη, ἀπὸ τῆς Πασπαρίνης Πέτρας, ἐν ᾗ καὶ σταυρὸς παρ' ἡμῶν γέγονε, καὶ ἀνέρχεται κατ' εὐθεῖαν εἰς τὸν 'Ασπρόλιθον καὶ εἰς τὴν 'Αγίαν Κυριακήν, καὶ ἀνέρχεται τὴν ῥάχην ἄχρι τῆς Βίγλας, διαιρῶν πρὸς μὲν νότον τὰ δίκαια τοῦ προαστείου

Λεπίδων, πρὸς δὲ βορρᾶν τοῦ περιοριζομένου τόπου τῶν Τεμενίων· εἶθ' οὕτως κατέρχεται τὴν αὐτὴν ῥάχην καὶ ἔρχεται εἰς τὸν τόπον τὸν λεγόμενον Γούρνας, σχοινία ν'. καὶ ἀπὸ τῶν ἐκεῖσε κρατεῖ τὴν ῥάχην κατ' εὐθεῖαν καὶ ἀκουμβίζει κρατῶν τὸ κάτω μονοπάτι, καὶ ἐκνεύει ὀλίγον εἰς τὸν πετρώδη τόπον, ἔνθα καὶ σταυρὸς παρ' ἡμῶν γέγονε, σχοινία κγ'. εἶτα περνᾷ τὴν λαγγάδα καὶ τὸ ἀνάραχον, ἔνθα καὶ σταυρὸς γέγονε, σχοινία ζ'. κρατεῖ τὴν ῥάχην ῥάχην καὶ ἀντιπερνᾷ τὴν ἑτέραν λαγγάδα εἰς τὴν πηγὴν τὴν ποτὲ μὲν βλύζουσαν, ποτὲ δὲ ἐκλείπουσαν, καὶ εἰς τὴν πλησίον αὐτῆς πέτραν, ἔνθα καὶ σταυρὸς γέγονε, σχοινία η'. εἶθ' οὕτως ἀνέρχεται κρατῶν τὸν ξηρὸν ῥύακα κατ' εὐθεῖαν, καὶ ἔρχεται εἰς τὴν κεφαλὴν τῶν Ἄσπρων Κρημνῶν, ἔνθα καὶ σταυρὸς γέγονε, σχοινία η'. καὶ ἀπὸ τῶν ἐκεῖσε διέρχεται κατ' εὐθεῖαν, σχοινία β', ἔνθα καὶ σταυρὸς γέγονεν· εἶθ' οὕτως διέρχεται τὰ πλάγια πλάγια καὶ ἀπέρχεται εἰς τὸ ἀνάραχον τοῦ Θόλου, εἰς τὴν πάλαι λαβράτωσιν, ποιησάντων καὶ ἡμῶν σταυρόν, σχοινία ε'. κρατῶν τὸ διάπλαγον ἔρχεται εἰς τὸν ξηρὸν ῥύακα, ἔνθα καὶ σταυρὸς γέγονε παρ' ἡμῶν, σχοινία ι'. εἶθ' οὕτως ἀνατρέχει κατ' εὐθεῖαν εἰς τὴν ῥάχην, ἔνθα καὶ σταυρὸς γέγονε, σχοινία ε'. περνᾷ τὸν ῥύακα καὶ ἀνέρχεται εἰς τὸν Ἀσπρόλιθον, ἔνθα καὶ σταυρὸς γέγονε, σχοινία ιβ'. ἀντιπερνᾷ καὶ ἔρχεται εἰς τὸ Ἁλωνίτζιν, ἔνθα καὶ σταυρὸς γέγονε, σχοινία ε'. κατέρχεται κατ' εὐθεῖαν καὶ ἔρχεται εἰς τὸν Ἀνθρωπόλιθον, καὶ κατέρχεται εἰς τὴν σκάλαν τῶν Διαπορίων, διαιρῶν δεξιὰ μὲν τὰ δίκαια τῶν Λεπίδων, ἀριστερὰ δὲ τὰ δίκαια τοῦ περιοριζομένου τόπου, σχοινία λ'. καὶ ἀπὸ τῶν ἐκεῖσε κρατεῖ τὸν αἰγιαλὸν αἰγιαλὸν πρὸς ἀνατολάς, καὶ διέρχεται τοῦ Ἐπισκόπου τὸ αἰγιαλιτοκάριον, καὶ ἔρχεται εἰς τὸ λεπτὸν ἀκρωτήριον τοῦ Δραμύνθου, σχοινία ρη'. εἶθ' οὕτως ἀνατρέχει καὶ ἀνέρχεται εἰς τοὺς Ὀξεῖς Λίθους, ἔνθα καὶ σταυρὸς γέγονε, σχοινία ϛ'. κρατῶν τὴν ῥάχην ῥάχην κατ' εὐθεῖαν, ἔρχεται εἰς τὴν Βίγλαν, σχοινία δ'. περικόπτει ὀλίγον καὶ ἀπέρχεται εἰς τὰς Ὀξείας Πέτρας· κατέρχεται κατ' εὐθεῖαν τὴν ῥάχην ῥάχην, καὶ ἔρχεται εἰς τὸ Μονόστρατον, εἰς τὸν σταυρὸν τὸν διαιροῦντα πρὸς βορρᾶν τὰ δίκαια τοῦ προαστείου Καρδάμου, ἀριστερὰ δὲ τὸ περιοριζόμενον, σχοινία ιβ'. εἶτα κρατεῖ πάλιν τὴν ἑτέραν ῥάχην καὶ κατέρχεται εἰς τὸν αἰγιαλὸν καὶ εἰς τὸ ἀκρωτήριον τὸ διαιροῦν δεξιὰ μὲν τὰ δίκαια τῆς ἐπισκοπῆς, ἀριστερὰ δὲ τὰ δίκαια τοῦ περιοριζομένου τόπου, ἔνθα καὶ σταυρὸς γέγονε, σχοινία ιθ'. εἶθ' οὕτως κλίνει πρὸς νότον, κρατεῖ τὸν αἰγιαλὸν αἰγιαλὸν καὶ τὸ ἀκρωτήριον, καὶ ἀπέρχεται εἰς τὸν τόπον τοῦ Μαλλωτάρη καὶ εἰς τὴν ἐκεῖσε γραφεῖσαν πέτραν, ὅθεν καὶ ἤρξατο· ἔσωθεν δὲ τοῦ τοιούτου περιορισμοῦ εὑρέθη γῆ σπόριμος μοδίων σνθ', ὡς τῆς λοιπῆς οὔσης ὀρεινῆς καὶ νομαδιαίας. ἐκκλησία οἱ ἅγιοι Ἀνάργυροι, θολωτή, δρομική, τεθυρωμένη καὶ

ζωγραφισμένη, ἔχουσα εἰκόνας χρυσοπετάλους μικρὰς β', τοὺς ἁγίους Ἀναργύρους καὶ τὸν ἅγιον Γεώργιον· σταυρὸς μέγας ξύλινος· τὸ ἅγιον κάγγελον μετὰ συστεμματίων . . . . ., κοσμηταρίτζιν χυτὸν μετὰ κηροπηγίων τεσσάρων καὶ σταυρίου· πύργος τοῦ αὐτοῦ προαστείου ἐγχώρηγος, τεθυρωμένος, τρίπατος, μετὰ ἡλιακοῦ καὶ εὐκτηρίου τῆς ὑπεραγίας θεοτόκου, ἧς τὸ βῆμα ὑπάρχει δι' ὑλογραφίας . . . . . κά, ἐγχώρηγα, διὰ βαθμίδων ἕξ. ὀσπήτιον δρομικόν, ἐγχώρηγον, θολωτόν, ὑπ[οκέραμον], τεθυρωμένον, δίρρυτον εἰς δύο ἀνώγαια κατώγαια, χρηματίζοντα ὡρεῖον καὶ ἀποθήκη, μετὰ καὶ σκάλας ἐχούσης βαθμίδας δ'. ἕτερον ὀσπήτιον λιθόκτιστον, τεθυρωμένον, κεραμωτόν, τὸ ἥμισυ βρουλλωτόν, τεθυρωμένον, χρηματίζον εἰς ἀχυρῶνα. ἕτερον ὀσπήτιον λιθοπηλόκτιστον, βρουλλόσκεπον, τεθυρωμένον, χρηματίζον εἰς σταῦλον· ἕτερον κελλίτζιν, βρουλλόσκεπον, λιθόκτιστον, χρηματίζον εἰς καταμονὴν μισθίων. ἕτερον ὀσπήτιον λιθόκτιστον, βρουλλόσκεπον, χρηματίζον εἰς καταμονὴν παροίκων. ἕτερα ὀσπήτια δ' λιθόκτιστα, βρουλλόσκεπα, χρηματίζοντα εἰς σταῦλον καὶ ἀχυρῶνα. φρέαρ τοῦ αὐτοῦ προαστείου· ἀμπηλοκήπιον . . . . . ., ἔχον ἔσωθεν ἀμυγδαλέας δ', ῥοϊδίας ι', κυδωνίας θ', συκέας δ', ἑτέρας κυδωνίας μετὰ ἀναδενδράδος β', γλυκοξυλέας γ'. ληνὸς ἐγχώρηγος τοῦ αὐτοῦ προαστείου. πηγὴ βρυτὴ ἔχουσα καὶ δεξαμενὴν ἐγχώρηγον. καταλελυμένον ἐλαιοτριβεῖον τοῦ αὐτοῦ προαστείου, ἐλαῖαι ἥμεροι ρνς', δρῦς τκς', γλυκοξυλέαι ιβ', ἀπιδίαι γ'. ἐπεὶ δὲ ἀμφιβολία ἀνέκυψε μέσον τῶν μοναχῶν τοῦ κυροῦ Χριστοδούλου καὶ τῶν παροίκων τῶν δύο ἀγρῶν, τοῦ τε Πολουφούτη καὶ τῶν Κουρουνῶν, περὶ τῆς νομαδιαίας γῆς τοῦ προαστείου Παρθενίου· ἔλεγον γὰρ οἱ πάροικοι προνόμιον ἔχειν εἰσέρχεσθαι καὶ νέμεσθαι εἰς τὴν τοῦ Παρθενίου νομήν, καὶ ἐπεζήτουν μὴ κωλύεσθαι παρὰ τῶν μοναχῶν, οἱ δὲ μοναχοὶ ἀντέπιπτον μηδόλως αὐτοὺς εἰσέρχεσθαι, διὰ τὸ τὴν ὅλην περιοχὴν τοῦ Παρθενίου δωρηθῆναι, καὶ ἰδίως εἶναι τὴν ὑποτεταγμένην τοῦ Παρθενίου, καὶ ἰδίως τῶν εἰρημένων ἀγρῶν, εἰ τάχα καὶ πρότερον ὑπὸ τὸ Παρθένιον ὄντων καὶ τῶν ἀγρῶν, συνεχωροῦντο καὶ εἰς τὴν νομὴν εἰσέρχεσθαι, οὐ κατ' εὔλογον τρόπον ἢ ὡς ἀνακοίνωσιν, ὥς φησιν, ἐχόντων τινά, ἀλλ' ὡς εἴρηται, ὡς καὶ τῶν ἀγρῶν ὑπὸ τὸ Παρθένιον τυγχανόντων καὶ ἓν λογίζεσθαι. καὶ διὰ ταῦτα ὑπομνησθεῖσα ἡ ἁγία ἡμῶν δέσποινα, τιμία καὶ προσκυνητὴ αὐτῆς πρόσταξις ἐξαπεστάλη μοι, τῷ ἀναξίῳ δούλῳ αὐτῆς, ἥτις καὶ προεκομίσθη παρὰ . . . . . ., διαλαμβάνουσα οὕτως σὺν τοῖς ἄλλοις·

«Ἐπεὶ δὲ οἱ μοναχοὶ ἔγγραψαν πρὸς τὸν τιμιώτατον κυρὸν Χριστόδουλον, ὅτι οἱ τοῦ ἀγροῦ τῶν Κουρουνῶν καὶ τοῦ Πολουφούτη εἰσέρχονται ἀδεῶς εἰς τὸ δίκαιον τοῦ προαστείου τοῦ Παρθενίου τοῦ ἀπογαριθέντος τῷ μοναχῷ Χριστοδούλῳ

σὺν τῇ μονῇ αὐτοῦ καὶ τοῖς ὑπ' αὐτὸν μοναχοῖς, καὶ καταβλάπτουσιν οὐκ ὀλίγα αὐτούς διὰ τὸ μὴ χωρισθῆναι παρὰ σοῦ τὴν ἑκάστου νομήν, ὅτε τὴν τοῦ Παρθενίου παράδοσιν πρὸς τοὺς μοναχοὺς ἐποίησας, ἀλλ' εἶναι ἀνακεκοινωμένην, διοριζόμεθά σοι ἀπελθεῖν καὶ διαχωρίσαι τὴν διαφέρουσαν ἑκάστῳ νομὴν ἐξ ἀρχαίων τῶν χρόνων, περιορίσαι τε ταῦτα καὶ λαβρατῶσαι καὶ παρασκευάσαι τοὺς ἑκάστου ἀγροῦ οἰκήτορας εἰς τὸ τὰς διαφερούσας αὐτοῖς νομὰς νέμεσθαι, καὶ μήτε τοὺς τοῦ Πολουφούτη εἰς τὴν ἐν τῷ Παρθενίῳ νομὴν εἰσέρχεσθαι, μήτε τοὺς τῶν Κουρουνῶν, μήτε τοὺς ἐν τῷ Παρθενίῳ εἰς ἓν τούτων· ἀλλὰ τοὺς ἰδίους τόπους καὶ τὰς νομὰς γνωρίζοντας ἀπέχεσθαι τοῦ τοῖς ἀλλοτρίοις ἐπεμβαίνειν καὶ καταβλάπτειν ἢ περικόπτειν αὐτούς, ὡς ἂν ἐντεῦθεν ἀνάπαυσιν ἔχοντες οἱ μοναχοὶ καὶ ἀπερικόπως βιοῦντες καὶ ἀταράχως ὑπερεύχωνται τῆς βασιλείας ἡμῶν. καὶ ἐξάπαντος καὶ ἀνυπερθέτως καὶ διὰ τάχους ἐκπλήρωσον τὰ διορισθέντα σοι. διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν πιττάκιον ἐν τοῖς χαρτίοις τοῦ σεκρέτου τοῦ Μυρελαίου κατεστρώθη, ἴσον τε τούτου πεπιστωμένον ἐγένετο καὶ τοῖς μοναχοῖς εἰς ἀσφάλειαν ἐπεδόθη· οὗ δὴ καὶ ἕτερον ἴσον παρὰ σοῦ γενέσθαι ὀφείλει καὶ αὐτοῖς προσεπιδοθῆναι εἰς βεβαιοτέραν ἀσφάλειαν. μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ια'. καὶ ἡ διὰ κηροῦ συνήθης σφραγὶς τῆς ἁγίας ἡμῶν δεσποίνης. ἐκ τῆς δεσποίνης, τῆς μητρὸς τοῦ βασιλέως, πρὸς τὸν πατρίκιον Εὐστάθιον καὶ προνοητὴν Σάμου, τὸν Χαρσιανίτην, καὶ τὸν ἐκπροσωποῦντα ἐν τῷ οἴκῳ τοῦ Μυρελαίου.»

Οὕτως οὖν καὶ τῆς τοιαύτης τιμίας προστάξεως παρακελευομένης ἐξαπεστείλαμεν τὸν προμνημονευθέντα Ἰωάννην νοτάριον τὸν Θεολογίτην ποιήσασθαι τὴν ἀναμέτρησιν τοῦ προαστείου τοῦ Παρθενίου ἰδίως, καὶ τῶν ἀγρῶν αὖθις ἰδίως· καὶ εἰ μὲν εὑρήσει τὴν τοῦ Παρθενίου νομὴν πλεονάζουσαν τῆς τῶν ἀγρῶν, ἐκκόψῃ ταύτην καὶ ἀπονείμῃ καὶ τοῖς ἀγροῖς τὸ ἐπιβάλλον ἐξ ἰσότητος, καὶ μήτε τῷ προαστείῳ Παρθενίου παραχωρῆσαι πλείονος νομῆς τῶν ἀγρῶν, μήτε τοῖς δυσὶν ἀγροῖς, τῷ τε Πολουφούτῃ καὶ τῷ Κουρουνῶν τῆς τοῦ Παρθενίου ἐλάττονος· εἰ δὲ μὴ οὕτως, ἐᾶσαι καὶ τὸ προάστειον καὶ τοὺς ἀγροὺς ἔχειν τὰ ἴδια καὶ δεσπόζειν, καὶ μήτε ὑφαίρεσιν, μήτε αὔξησιν καὶ προσθήκην ἐμποιῆσαι θατέρῳ μέρει τινί· ὅστις δὴ καὶ ἀπελθὼν ἀνεμέτρησεν ἰδίως μὲν τὴν ὅλην νομὴν τοῦ προαστείου Παρθενίου, ἰδίως δὲ τῶν δύο ἀγρῶν· καὶ εὑρέθη τοῦ μὲν Παρθενίου γῆ νομαδιαία σὺν τῇ σπορίμῳ μοδίων ἑξακισχιλίων πεντήκοντα, τοῦ δὲ ἀγροῦ Πολουφούτη γῆ νομαδιαία σὺν τῇ σπορίμῳ μοδίων πεντακισχιλίων ἑξακοσίων δεκαοκτώ, καὶ τοῦ ἀγροῦ τῶν Κουρουνῶν γῆ νομαδιαία σὺν τῇ σπορίμῳ μοδίων χιλίων τετρακοσίων πεντήκοντα ὀκτώ. ἀλλὰ τούτων οὕτως διενεργηθέντων καὶ εὑρεθέντων, καὶ μήτε

προσθήκης ἢ ἐκκοπῆς ἔν τινι γεγονυίας, οὔτε τῷ Παρθενίῳ ἐδόθη χώρα ὑπεισέρχεσθαι εἰς τὴν τῶν ἀγρῶν νομήν, οὔτε τοῖς ἀγρώταις εἰς τὴν τοῦ Παρθενίου, καθὼς καὶ τὸ γεγονὸς ἐπὶ τούτῳ πρακτικὸν παρ' αὐτοῦ τούτου τοῦ διενεργήσαντος σαφέστερον παρίστησιν· ὅπερ καὶ τῷ παρόντι πρακτικῷ συνεσφραγίσθη καὶ τῷ μέρει τῆς μονῆς ἐπεδόθη. ἀλλὰ καὶ περὶ τοῦ κάστρου Παντελίου καὶ αὖθις ἑτέρα τιμία καὶ προσκυνητὴ πρόσταξις τῆς ἁγίας ἡμῶν δεσποίνης προεκομίσθη ἡμῖν, διαλαμβάνουσα οὕτως.

† Εἰ τάχα καὶ ἀγνοοῦσα ἡ βασιλεία ἡμῶν τὸ εἶναι ἐν τῇ νήσῳ τῇ Λέρῳ ἐκτὸς τοῦ Παντελίου καὶ ἕτερον κάστρον, διωρίσατο ἐν τῷ γεγονότι χρυσοβούλλῳ τῷ τιμιωτάτῳ μοναχῷ, κυρῷ Χριστοδούλῳ, κατέχειν δεσποτικῷ τρόπῳ τὸ μὲν ἥμισυ τούτου, ἤτοι τοῦ Παντελίου κάστρου, αὐτόν τε τὸν δηλωθέντα μοναχὸν σὺν τῇ μονῇ αὐτοῦ καὶ τοὺς ὑπ' αὐτὸν μοναχούς, τὸ δὲ ἕτερον ἥμισυ τοὺς ἐποίκους τῆς νήσου, ἀλλ' ἐκεῖ διαφόρως ἔκτοτε ἀναμαθοῦσα, ὡς ἔστι καὶ ἕτερον κάστρον, ὃ τὰ Λέπιδα ἐπιλέγεται, οὐ καλὸν διέγνωκε τὸ ἀνακεκοινωμένους εἶναι τοὺς μοναχοὺς μετὰ τῶν κοσμικῶν ἐν τῷ διαληφθέντι κάστρῳ τῷ Παντελίῳ, εὐδόκησεν ἀντιστραφῆναι τῷ ῥηθέντι μοναχῷ Χριστοδούλῳ σὺν τῇ μονῇ αὐτοῦ καὶ τοῖς ὑπ' αὐτὸν μοναχοῖς καὶ τὸ ἕτερον ἥμισυ τοῦ τοιούτου κάστρου, ὥστε τὸ ὅλον κάστρον τὸ Παντέλιον σὺν τῇ ἐκκλησίᾳ καὶ τῶν ἐν αὐτῷ ὀσπητίων πάντων ὑπὸ τοὺς μοναχοὺς καὶ τὴν μονὴν αὐτῶν εἶναι τοῦ λοιποῦ, καὶ παρ' αὐτῶν ἀναφαιρέτως καὶ αἰωνίως κατέχεσθαι εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, τοῖς δέ γε ἐποίκοις τῆς νήσου Λέρου ἀντιπαραδοθῆναι τὸ ἕτερον κάστρον τὰ Λέπιδα, ὡς ἂν ἔχωσι τοῦτο εἰς φυλακὴν καὶ σωτηρίαν αὐτῶν, καὶ τοῖς μοναχοῖς κατά τι μὴ παρεμποδίζωσιν. ἐφ' ᾧ καὶ κελεύει σοι ποιῆσαι κατὰ τὰ δεδογμένα καὶ ᾠκονομημένα αὐτῇ †.

Κατὰ τὴν τοιαύτην οὖν θείαν πρόσταξιν, ἐξ ἀποστολῆς τοῦ εἰρημένου Ἰωάννου νοταρίου τοῦ Θεολογίτου παρεδόθη καὶ τὸ ἕτερον ἥμισυ τοῦ κάστρου Παντελίου πρὸς τὸ μέρος τῆς μονῆς τοῦ κυροῦ Χριστοδούλου, ἤγουν κατὰ τὴν α΄ τοῦ σεπτεμβρίου μηνὸς τῆς ιβ΄ ἰνδικτιῶνος, οὕτως· ὀσπήτια τὰ πρὸς δύσιν, λιθοπηλόκτιστα, ὑποκέραμα, τεθυρωμένα, καὶ ἀνώγεα μεγάλα δίρρυτα γ΄, ὧν τὸ ἓν ἀπάτωτον, τὸ δὲ ἕτερον πατωμένον διὰ σανίδων· διὰ μέσου δὲ τούτων ὑπάρχει κελλίτζιν σμικρότατον, ἀπόσκεπον, ἀθύρωτον καὶ ἀπάτωτον. ἕτερον ὀσπήτιον εἰς τὸν αὐτὸν μάκρωνα, τεθυρωμένον καὶ πατωμένον διὰ ξύλων καὶ χώματος, καὶ τὸ στέγος τούτου ὁμοίως διὰ χώματος. κινστέρνα θολωτή. ὀσπήτιον ἀνωγοκάτωγον πρὸς νότον, λιθοπηλόκτιστον, ὑποκέραμον, τεθυρωμένον, σανιδοπάτωτον, ἔχον καὶ ἡλιακὸν δωματηρὸν συμπτωμένον. ἕτερα κελλία τὰ πρὸς ἀνατολὰς μονόρρυτα γ΄,

ζον τὸ ἓν ἡμίσκεπον. ἕτερον ὀσπήτιον ἀνωγοκάτωγον, διρρυτον, λιθοπηλόκτιστον, ὑποκέραμον, ἀθύρωτον, ὁ πάτος αὐτοῦ δωματηρός, συμπτωμένου ὄντος τοῦ ἑνὸς μέρους αὐτοῦ. ἕτερον κελλίτζιν δίρρυτον, σμικρότατον, ὑποκέραμον, χρηματίζον μαγειρεῖον καὶ φουρναρεῖον· περικλεισμένων τούτων πάντων διὰ τοῦ ἐγχωρήγου περιτειχίσματος τοῦ τοιούτου ὅλου κάστρου τοῦ Παντελλίου.

Ἡ νῆσος ἡ Λειψὼ εὑρέθη ἔχουσα γῆν σπόριμον α', β' καὶ γ' ποιότητος μοδίων υ'· ἡ δὲ λοιπὴ γῆ τούτου ὑπάρχει ὀρεινή, νομαδιαία, πετρώδης καὶ δασώδης. ἐκκλησία ὁ ἅγιος Νικόλαος, λιθοπηλόκτιστος, ὑποκέραμος, ἀζωγράφιστος. κελλία λιθοπηλόκτιστα, ὑποκέραμα, τεθυρωμένα τρία. ἕτερον ὀσπήτιον δρομικόν, λιθοπηλόκτιστον, ὑποκέραμον, χρηματίζον σταῦλος τῶν βοϊδίων. ἕτερον ὀσπήτιον δρομικόν, χρηματίζον ὡρεῖον . . . . . . λιθοξυλόκτιστα, βρουλλόσκεπα διάφορα, χρηματίζοντα εἰς καταμονὰς μισθίων. τούτων οὕτως πραχθέντων, καθὼς αἱ θεῖαι καὶ προσκυνηταὶ προστάξεις διαρρήδην παρεκελεύοντο, τὸ παρὸν πρακτικὸν ἐξεθέμην, ὅπερ καὶ ὑπογραφαῖς ἀξιολόγων προσώπων κατοχυρωθὲν καὶ τῇ παρ' ἡμῶν συνήθει βούλλῃ βεβαιωθὲν τῷ μέρει τῆς μονῆς εἰς οἰκείαν ἀσφάλειαν ἐπεδόθη μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις †.

† Μιχαήλ, ὕπατος ὁ Μαυρόποδος, πάρειμι ἐπὶ τῷ παρόντι πρακτικῷ καὶ τῇ παραδόσει τῶν ἐν τούτῳ ἀναταττομένων πάντων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ἰωάννης, ὁ εὐτελὴς νοτάριος ὁ Θεολογίτης, πάρειμι ἐπὶ τῷ παρόντι πρακτικῷ καὶ τῇ παραδόσει τῶν ἐν τούτῳ ἀναταττομένων πάντων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ἰωάννης, νοτάριος ὁ Ἀντζᾶς, πάρειμι ἐπὶ τῷ παρόντι πρακτικῷ καὶ τῇ παραδόσει τῶν ἐν τούτῳ ἀναταττομένων πάντων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Βασίλειος ὁ Κοχλάνος, πάρειμι καὶ μαρτυρῶν ὑπέγραψα †.

† Μιχαὴλ ὁ τοῦ Ἰσμαὴλ πάρειμι ἐπὶ τῷ παρόντι πρακτικῷ καὶ τῇ παραδόσει τῶν ἐν τούτῳ ἀναττομένων πάντων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ἰωάννης, ὕπατος ὁ Κουτούνης, πάρειμι ἐπὶ τῷ παρόντι πρακτικῷ καὶ τῇ παραδόσει τῶν ἐν τούτῳ ἀναταττομένων πάντων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Εὐστάθιος στρατηγός, ὁ προνοητὴς Σάμου καὶ ἄνθρωπος τῆς ἁγίας ἡμῶν δεσποίνης, ὁ Χαρσιανίτης, τὸ παρὸν πρακτικὸν ἐκθέμενος

ὑπέγραψα καὶ ἐσφράγισα καὶ τῷ μέρει τῆς μονῆς ἐπιδέδωκα εἰς ἀσφάλειαν †.

† Κατὰ τὸν ἀπρίλιον μῆνα τῆς ἐνεστώσης δωδεκάτης ἰνδικτιῶνος τοῦ ςφιζ´ ἔτους ἀπεστάλην κἀγὼ Ἰωάννης νοτάριος ὁ Θεολογίτης παρὰ Εὐσταθίου στρατηγοῦ, προνοητοῦ Σάμου καὶ ἀνθρώπου τῆς ἁγίας ἡμῶν δεσποίνης, τοῦ Χαρσιανίτου ἐν τῇ νήσῳ Λέρῳ, κατὰ τὴν προκομισθεῖσαν αὐτῷ τιμίαν καὶ προσκυνητὴν πρόσταξιν τῆς ἁγίας αὐτῆς βασιλείας, ὥστε ποιῆσαι τὸν διαχωρισμὸν τοῦ τε προαστείου Παρθενίου καὶ τῶν δύο ἀγρῶν, τοῦ τε Πολουφούτη καὶ τῶν Κουρουνῶν, περὶ τῆς ἀνακυψάσης ἀμφιβολίας τῆς τούτων νομῆς, ὡς ὄντων τῶν τοιούτων δύο ἀγρῶν ἐξ ἀρχῆς καὶ ἄνωθεν ὑπὸ τῆς ὑποταγῆς τοῦ Παρθενίου, καὶ ἐπίκοινον ἔκπαλαι τὴν νομὴν κεκτημένων. τῶν τοιούτων δὲ δύο ἀγρῶν ἀπὸ τοῦ Παρθενίου ἀποσπασθέντων, ἐζήτουν καὶ αὖθις τὴν νομὴν ἐπίκοινον ἔχειν οἱ τοῦ Πολουφούτη καὶ τῶν Κουρουνῶν πάροικοι· τὸ μέρος δὲ τῶν μοναχῶν τοῦ τιμιωτάτου κυροῦ Χριστοδούλου, τῶν καὶ τὴν δεσποτείαν νῦν ἐχόντων τοῦ Παρθενίου δι' εὐσεβοῦς χρυσοβούλλου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, οὐ κατετίθεντο ὅλως κοινὴν εἶναι τὴν τοιαύτην νομήν, τὸ ἀτάραχον καὶ ἀφιλόνεικον τούτου ἀσπάζεσθαι καὶ ἴσην τῷ Παρθενίῳ νομὴν ἔχειν καὶ τοὺς ἀγροὺς τῶν μοναχῶν ἐνισταμένων. οἱ καὶ ἀπαναγκασθέντες ὑπεμνήσθη παρὰ τῶν εἰρημένων μοναχῶν ἡ ἁγία αὐτῆς βασιλεία, ὥστε ἀναμετρηθῆναι καὶ ἡ τοῦ Παρθενίου νομὴ καὶ ἡ τῶν δύο ἀγρῶν, καὶ ἐπιμερισθῇ εἰς δύο μερίδας, τοῖς μὲν δυσὶν ἀγροῖς ἀπονεμηθῇ μία μερίς, τῷ δὲ μέρει τοῦ Παρθενίου ἑτέρα· καὶ εἴπερ εὑρεθῇ ἀπὸ τῶν δύο λειπάζεσθαι τὴν ἑτέραν, ἱκανοῦν ταύτην τὸ ἐλλεῖπον αὐτῆς ἡ περιττεύουσα μερίς. ὃς καὶ καταλαβὼν τὴν προρρηθεῖσαν νῆσον Λέρον, καὶ συμπαραλαβὼν μεθ' ἑαυτοῦ τοὺς εὐυποληπτοτέρους τῶν παροίκων, τοὺς καὶ κάτωθεν τοῦ ὅλου ὕφους ὑπογράψαντας, περιώρισα, παρουσίᾳ αὐτῶν τε τῶν δηλωθέντων ἀνδρῶν, [παρ]όντων καὶ τῶν μοναχῶν τοῦ προειρημένου κυροῦ Χριστοδούλου καὶ τῶν παροίκων τῶν δύο ἀγρῶν, τοῦ τε Πολουφούτη καὶ τῶν Κουρουνῶν, καὶ εὗρον τὸ μὲν Παρθένιον, γῆν νομαδιαίαν μοδίων ἑξακισχιλίων πεντήκοντα· ὡσαύτως καὶ τὸν ἀγρὸν Πολουφούτην, γῆν ὁμοίαν μοδίων πεντακισχιλίων ἑξακοσίων δεκαοκτώ· σὺν τούτοις καὶ τὸν ἀγρὸν τῶν Κουρουνῶν καὶ αὐτὸν ὁμοίως γῆν νομαδιαίαν μοδίων χιλίων τετρακοσίων πεντήκοντα ὀκτώ, σὺν τῇ ἔσωθεν εὑρισκομένῃ ἐπ' ἀμφοτέρους ἀροσίμῳ γῇ, ἣν καὶ ἀφορίσας, τὸ μὲν Παρθένιον ἀπαρασάλευτον καὶ ἀκαινοτόμητον ἔχειν τὴν ὅλην αὐτοῦ νομήν τε καὶ σπόριμον γῆν τῶν ͵ςν´ μοδίων τοὺς δὲ δύο ἀγροὺς ἔχειν καὶ δεσπόζειν ἐπίσης τὴν εὑρεθεῖσαν ἐν αὐτοῖς νομαδιαίαν καὶ σπόριμον γῆν τῶν ͵ζος´ μοδίων, εἰ καὶ πλείων τοῦ Παρθενίου τυγχάνει· καὶ ἐπεζήτουν

οἱ μοναχοὶ τὸ ἐπιβάλλον αὐτοῖς κατ' ἰσότητα· ἀλλ' σὺν οἰκείᾳ γνώμῃ καὶ βουλῇ παρακληθέντες οἱ δηλωθέντες μοναχοὶ κατέλιπον αὐτοῖς τὴν περιττεύσασαν νομὴν τῶν ,αχς' μοδίων, διά τε αὐτὸ τὸ καλὸν καὶ τοῦ ἠρεμεῖν τοὺς μοναχοὺς καὶ νῦν καὶ εἰς τὸ μετέπειτα. ὅθεν καὶ ἀμετακινήτως κατέχειν καὶ δεσπόζειν τὸ μὲν Παρθένιον τὴν ὅλην αὐτοῦ νομήν, καθὼς ἀνωτέρω εἴρηται, τοὺς δὲ δύο ἀγροὺς ὁμοίως τὴν ὅλην αὐτῶν νομὴν σὺν τῇ περιττευσάσῃ, μηδεμίαν ὄχλησιν ἐπάγειν αὐτοῖς οἱ μοναχοὶ ἕνεκα τῆς ταύτης περιουσίας τῶν ,αχς' μοδίων· ἀλλ' οὐδὲ οἱ περίοικοι ἔχειν ἄδειαν ἐπεμβαίνειν ἐπὶ τοῖς τοῦ Παρθενίου δικαίοις διὰ τὸ ἰδίᾳ τούτοις τυπωθεῖσαν ἔχειν τὴν νομὴν αὐτῶν καὶ ἰδίᾳ τοῖς μοναχοῖς. ταῦτα πάντα πράξας παρουσίᾳ τῶν δεδηλωμένων ἀνδρῶν τὸ παρὸν πρακτικὸν ἐξεθέμην, πιστωθὲν τε διὰ τῶν οἰκείων ὑπογραφῶν, καὶ τῷ μέρει τῶν μοναχῶν εἰς ἀσφάλειαν ἐπεδόθη μηνὶ καὶ ἰνδικτιῶνι σὺν ἑτέροις τοῖς προγεγραμμένοις †.

† . . . . . πρωτοπρεσβύτερος τῆς ἐπισκοπῆς Λέρου, πάρειμι ἐπὶ τῇ ἀναμετρήσει καὶ παραδόσει τῆς νομῆς τοῦ Παρθενίου καὶ τῶν ἀγρῶν, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Μιχαήλ, ὁ εὐτελὴς πρεσβύτερος τῆς αὐτῆς ἐπισκοπῆς, πάρειμι ἐπὶ τῇ ἀναμετρήσει καὶ παραδόσει τῆς νομῆς τοῦ Παρθενίου καὶ τῶν ἀγρῶν, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Νικόλαος ὁ εὐτελὴς πρεσβύτερος πάρειμι ἐπὶ τῇ ἀναμετρήσει καὶ παραδόσει τῆς νομῆς τοῦ Παρθενίου καὶ τῶν ἀγρῶν, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Μιχαήλ, ὁ εὐτελὴς ὑποδιάκονος τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ βασιλικὸς κληρικός, πάρειμι ἐπὶ τῇ ἀναμετρήσει καὶ παραδόσει τῆς νομῆς τοῦ Παρθενίου καὶ τῶν ἀγρῶν, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †

| Σίγνον | Μιχαὴλ | Σίγνον | Βασιλείου | Σίγνον | Ἰωάννου |
|---|---|---|---|---|---|
| οἰκονόμου | τῆς ἐπισκοπῆς Λέρου | τοῦ Χαρ | σιανίτου | πρωτοπρεσβυτέρου | τοῦ Ζερβοῦ |

| Σίγνον | Κωνσταντίνου | Σίγνον | Θεοδώρου |
|---|---|---|---|
| Πορο | κόπη. | τοῦ Κό | μητος |

παρόντες καὶ ἀμφότεροι ἐπὶ τῇ δηλωθείσῃ ἀναμετρήσει καὶ παραδόσει τῆς νομῆς τοῦ Παρθενίου καὶ τῶν δύο ἀγρῶν οἰκείαις χερσὶν ὑπέγραψαν τοὺς τιμίους καὶ ζωοποιοὺς σταυρούς·

Ὁ εὐτελὴς νοτάριος Ἰωάννης ὁ Θεολογίτης τὰ ἀνωτέρω πάντα πράξας κατὰ πρόσταξιν τοῦ ἄνω εἰρημένου στρατηγοῦ καὶ αὐθέντου μου οἰκείᾳ χειρὶ ὑπέγραψα.

*Exemplar. Flor. nro 50, δ.*

## XIII. 6596-1088, mense aprili, ind. XI.

*Imperator Alexius I. Comnenus Sancto Christodulo donat insulam Patmum eximitque eam et coenobium ibi conditum a tributis, a potestate laica et ecclesiastica.*

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἀλέξιος, πιστὸς ὀρθόδοξος βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Κομνηνός, πᾶσιν, οἷς τὸ παρὸν ἡμῶν εὐσεβὲς ἐπιδείκνυται σιγίλλιον †.

† Καὶ πᾶσι μὲν ὑπέχειν τὰς ἀκοὰς τοῖς εὐλόγως τὰς αἰτήσεις ποιουμένοις δίκαιόν τε ὁμοῦ καὶ θεοφιλὲς καὶ τῆς θείας ἐχόμενον ἐντολῆς, τοῖς δὲ κατ᾿ ἀρετὴν διαφέρουσι καὶ ὅλως διὰ βίου ἀνακειμένοις θεῷ πολλῷ μᾶλλον δικαιότερον καὶ κρείττονος λόγου ἐπάξιον· τὸ γὰρ συναίρεσθαι τούτοις καὶ χεῖρα ὀρέγειν βοηθείας, ἐν οἷς ἄρα καὶ δέοιντο, θεοῦ ἄντικρυς συνέργεια, κατὰ τὸν μέγαν καὶ θεῖον ἀπόστολον, καὶ τῆς ἐναρέτου πολιτείας καὶ διαγωγῆς συντήρησις. διά τοι τοῦτο καὶ ἡ βασιλεία μου καὶ πᾶσι μὲν τοῖς ἄλλοις δίκαιον ἡγεῖται συμπαθέστερον ἐπικλίνεσθαι καὶ τὰς τοῦ ἐλέους ἐποχετεύειν πηγὰς δαψιλῶς, μάλιστα δὲ τῶν ἁπάντων, οἷς κατὰ μόνας ὁ βίος ἐστὶ καὶ τῆς κοσμικῆς ἀποδιῃρημένος περιφορᾶς καὶ συγχύσεως. ἔνθεν τοι καὶ τῷ εὐλαβεστάτῳ μοναχῷ Χριστοδούλῳ καὶ ἡσυχαστῇ, τῷ πρὶν ἐν τῷ ὄρει τοῦ Λάτρους τὰς κατὰ θεὸν ποιουμένῳ διατριβὰς καὶ τὸν ἀσκητικὸν διανύοντι δίαυλον, ἡσυχίας τυγχάνοντι διαπύρῳ ἐραστῇ καὶ ἔργον τιθεμένῳ διηνεκὲς ἐν τοῖς τοῦ θεοῦ δικαιώμασι κατὰ μόνας ἀδολεσχεῖν, αἴτησιν προτεινομένῳ μάλα θεάρεστόν τε καὶ εὔλογον ὑπέσχε τὰς ἀκοὰς ἡ γαληνότης ἡμῶν συμπαθῶς καὶ τὴν αἴτησιν ἐξεπλήρωσεν εὐχερῶς· ἐπεὶ γὰρ ὁ θεοφιλὴς οὗτος ἀνὴρ δι᾿ ἔρωτα ἡσυχίας καὶ πόθον βίου ἐρημικοῦ καταγώγιόν τι ἐπεζήτει εὑρεῖν τῷ οἰκείῳ τρόπῳ καὶ βίῳ κατάλληλον, διέγνω δὲ τὴν Πάτμον νῆσον, ἄλλως τε μὲν οὖσαν τραχεῖάν τε καὶ λυπράν, πίειραν δὲ καὶ πρὸς καρπῶν πνευματικῶν ἐπιτηδειοτάτην φοράν, εἴ τις ἐν αὐτῇ καταβαλεῖν ἐθέλοι

τὰ θεοφιλῆ τῶν ἀρετῶν σπέρματα, καὶ ἀρετῆς, ὡς εἰπεῖν, ὑπάρχουσαν ἐργαστήριον, πρώτως γὰρ διὰ τὸ καθάπερ τινὰ κλῆρον εἰληφέναι τὰς ἐν αὐτῇ τοῦ τῆς βροντῆς υἱοῦ καὶ τῷ Χριστῷ διαφερόντως ἠγαπημένου διατριβάς, ἔπειτα δὲ καὶ τὸ τῆς θέσεως τοῦ τόπου ἐρημικὸν καὶ μονώτατον, καὶ μή τινας ἔχειν τοὺς ἐκεῖ παραβάλλοντας διὰ τὸ τῆς ἠπείρου ἀποκεῖσθαι μακράν, προσῆλθε τῇ βασιλείᾳ μου ἐκλιπαρῶν μάλα περιπαθῶς συλλήπτορα ταύτην ἐφευρεῖν πρὸς τὴν τοῦ οἰκείου ἐκπλήρωσιν ἐφετοῦ, καὶ ἐξαιτούμενος ἀφορισθῆναι μὲν ἀπ' ἐντεῦθεν τῷ δημοσίῳ τὰ ἐν τῇ νήσῳ Κῷ ὁθενδήποτε αὐτῷ προσκτηθέντα, ὅσα καὶ οἷά εἰσιν, ἀντιλαβεῖν δὲ τὴν εἰρημένην ἅπασαν νῆσον δῶρον ἀναφαίρετον καὶ ἐκκοπῆναι τὰ ἐπικείμενα ταύτῃ δημόσια τέλη, ὅσα καὶ οἷά εἰσιν, ἐλευθέραν δὲ τὴν τοιαύτην νῆσον δωρηθῆναι αὐτῷ καὶ πάσης ἀπηλλαγμένην σεκρετικῆς συζητήσεως, ὡς ἂν φροντιστήριόν τι ἐν αὐτῇ ἀνεγείροι, τοὺς οἰκείους τε μαθητὰς ἐπὶ τὸ αὐτὸ συναγάγοι, καὶ οὕτως ἀπερισπάστως προσομιλοίη θεῷ καὶ τὰς ὑπὲρ τοῦ κράτους ἡμῶν θερμοτέρας ποιοῖτο εὐχάς. ὅθεν καὶ διορίζεται διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου προσαφορισθῆναι μὲν τῷ δημοσίῳ, κατὰ τὴν αἴτησιν τοῦ εὐλαβεστάτου γέροντος, ὅσα καὶ οἷα ἐν τῇ νήσῳ Κῷ ὁθενδήποτε αὐτῷ προσεκτήθησαν, δωρεῖται δὲ αὐτῷ τὴν δηλωθεῖσαν νῆσον μετὰ πάσης αὐτῆς περιοχῆς καὶ διακρατήσεως, οὐ καιρικῶς, οὐδὲ χρόνοις ἀριθμητοῖς, ἀλλ' ἐπ' ἀναφαιρέτῳ καὶ διηνεκεῖ δεσποτείᾳ καὶ κυριότητι, καὶ ἄχρις ἂν ὁ παρὼν διαρκοίη αἰών, διορισαμένη ἐκκοπῆναι μὲν καὶ λογισθῆναι καὶ τὰ ταύτης ἅπαντα δημόσια τέλη καὶ βάρη, οἷα καὶ ὅσα τυγχάνουσι, τῆς προγραφῆς τοῦ λογιστικοῦ γινομένης ἐν τοῖς σεκρετικοῖς χαρτίοις διὰ κινναβάρεως χειρὶ τοῦ πρωτοπροέδρου Κωνσταντινουπόλεως καὶ ἐπὶ τῶν δεήσεων τοῦ Χοιροσφάκτου τοῦ οἰκείου ἀνθρώπου τῆς βασιλείας μου· ὡς γὰρ ἐξαίρετόν τι ἀνάθημα καὶ καλλιέρημα μέγιστον διὰ μέσου τοῦ τὴν αἴτησιν ἀνενεγκόντος εὐλαβοῦς μοναχοῦ τὴν τοιαύτην νῆσον ἡ βασιλεία μου ἀφιεροῖ τῷ θεῷ, καὶ ἔσται ἀπό γε τῆς σήμερον καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους ἀπεσπασμένη μὲν τῶν βασιλικῶν δικαίων, ἀπηλλαγμένη δὲ καὶ τῶν σεκρετικῶν ἀρχῶν, μόνῳ δὲ ἀνατεθειμένη θεῷ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς, οἳ καὶ μόνοι ἐν αὐτῇ αὐλισθήσονται, μὴ συγχωροῦντές τισι τῶν λαϊκῶν λόγῳ παροικίας ἐγκατοίκους ταύτῃ γίνεσθαι, ἐμπορίαν ἴσως ἢ ἄλλο τι ἐπιτήδευμα βίου μετερχομένους· μόνοι γὰρ ἐν κοσμικῷ σχήματι τῇ νήσῳ ἐγκατοικήσουσιν οἱ μισθαρνοῦντες τοῖς μοναχοῖς, καὶ οὗτοι ἄζυγες, καὶ μήτε γυναιξὶ συνοικοῦντες, μήτε μὴν παῖδας ἔχοντες· πᾶσαν γὰρ ὁδὸν πονηρᾶς μεθόδου ἀποκλείει τῷ σατανᾷ ἡ βασιλεία ἡμῶν. καὶ διὰ τοῦτο τοῖς λείοις τε καὶ βλαπτοικοῖς προσώποις, γυναιξί τε καὶ παισὶ καὶ εὐνούχοις, ἀφ' ὧν ὡς τὰ πολλὰ κατὰ

τῆς ψυχῆς ἀναρριπίζονται πόλεμοι, ἄβατον εἶναι τὴν νῆσον ταύτην παντάπασι διορίζεται, καθὰ δηλονότι καὶ ὁ εὐλαβέστατος οὗτος ἀνὴρ τὴν βασιλείαν μου ᾐτήσατο, πάρεξ μέντοι, ὡς εἴρηται, τῶν μισθίων, ὅσων χρήζουσιν οἱ μοναχοὶ εἰς δουλείαν τῆς νήσου, καὶ τούτων ἄζυγα βίον ἐχόντων καὶ ἐγγὺς τἄλλα τῆς μοναχικῆς πολιτείας τυγχανόντων, κἂν μόνῳ τῷ σχήματι διαλλάττοιεν. καθέξει οὖν τὴν τοιαύτην νῆσον αὐτός τε ὁ πολλάκις μνημονευθεὶς εὐλαβέστατος ἀνὴρ μετὰ τῶν ὑπ' αὐτὸν μοναχῶν, τῶν τε νῦν ὄντων καὶ τῶν ἐσύστερον ἐσομένων, καὶ σὺν τούτοις ἡ παρὰ τούτου ἀνεγερθησομένη ἐν τῇ νήσῳ Πάτμῳ ἱερὰ μονὴ ἀτελῶς, ἀβαρῶς, κυρίως καὶ αὐθεντῶς, ἀναφαιρέτως τε καὶ αἰωνίως· καὶ καθὼς ἂν συνεργοίη τούτῳ θεός, κατὰ τὸ αὐτῷ βουλητὸν ταύτην διαθήσοιεν, κἂν εἰς εὐφορωτάτην τε καὶ εὐπρόσοδον τῇ οἰκείᾳ μεταγάγοι σπουδῇ, εἰς ἴδιον κέρδος τὰς ἐντεῦθεν προσόδους λογίσεται σὺν ἅμα τοῖς ὑπ' αὐτὸν μοναχοῖς, μὴ παρά τινος τὸ σύνολον λογοπραγούμενος ἢ ἀνακρινόμενος. ἀποχρῶσα μέντοι ἔσται τούτῳ ἡ ἐπὶ τῇ τοιαύτῃ νήσῳ διαιωνίζουσα δωρεὰ τῆς βασιλείας μου, καὶ οὐκ ἔξω τῶν ὁρίων ταύτης καθ' ἑτέραν νῆσον ἐπικτήσεταί τι τὸ σύνολον· καὶ αὐτὰ γάρ, ὅσα ἐν τῇ νήσῳ Κῷ ὁθενδήποτε αὐτῷ προσεκτήθησαν μέχρι τοῦ νῦν, τῷ δημοσίῳ ἀπ' ἐντεῦθεν προσαφορισθήσονται, καὶ ὡς μηδέποτε τῇ κατ' αὐτὸν μονῇ προσαρμόσαντα λογισθήσονται, πάρεξ μέντοι τοῦ ὁλοκλήρου νησιδίου τῆς Λειψὼ καὶ τῶν ἐν τῇ νήσῳ Λέρῳ δεσποζομένων παρ' αὐτοῦ μέχρι τοῦ νῦν· τῶν γὰρ τοιούτων δεσπόσει κατὰ τὴν τῆς προγεγονυίας αὐτῷ παρὰ τῆς ἡμῶν γαληνότητος ἐπὶ τούτοις χρυσοβούλλου γραφῆς περίληψίν τε καὶ δύναμιν καὶ καθὼς ἄχρι τῆς δεῦρο δεσπόζων τούτων ἐτύγχανεν, ἕτερον δέ τι κατ' οὐδένα τρόπον ἐν οἱᾳδήτινι νήσῳ οὐδαμῶς ἐπικτήσεται. αὐτῶν δὲ τούτων μόνων καὶ τῆς ὅλης νήσου Πάτμου ὅ τε ἱερὸς οὗτος ἀνὴρ καὶ οἱ ὑπ' αὐτὸν σύμπαντες δεσπόσουσι μοναχοί, οἵ τε νῦν ὄντες καὶ οἱ μετὰ ταῦτα ἐσόμενοι. ἔτι δὲ καὶ ἡ ἐν τῇ νήσῳ τῇ Πάτμῳ, ὡς εἴρηται, ἐκ καινῆς ἀνεγερθησομένη σεβασμία μονὴ ἔσται κυριαρχοῦσα τούτων ἀπαρασπάστως τε καὶ ἀνυπεξαιρέτως, ὡς πάσης σεκρετικῆς εὑρεσιλογίας, μᾶλλον δὲ γλωσσαλγίας, ὑπερτεροῦσα, καὶ ἀδιάσειστον καὶ ἀπερίτρεπτον τὴν ἐπ' αὐτῆς δεσποτείαν ἔχειν ὀφείλουσα εἰς τὸν αἰῶνα τὸν ἅπαντα. ἥτις καὶ αὐτοδέσποτος καὶ αὐτεξούσιος μετὰ τῆς ὅλης νήσου διαμενεῖ ἐσαεί, καθ' ἑαυτὴν ἀγομένη καὶ διευθυνομένη κατὰ τὸ μέλλον ἐπὶ ταύτῃ γενέσθαι τυπικὸν καὶ τὴν διάταξιν παρὰ τοῦ δηλωθέντος εὐλαβοῦς μοναχοῦ Χριστοδούλου καὶ κτήτορος, καὶ οὔτε αὐτή, οὔτε τὰ ὑπ' αὐτήν, ὡς ἄνωθεν εἴρηται, οὐδ' ἡ νῆσος αὐτὴ ὑπὸ βασιλικὰ ἢ πατριαρχικὰ ἢ μητροπολιτικὰ ἢ ἐπισκοπικὰ ἢ ἐκκλησιαστικὰ ἢ ὑπό τινα ἰδιωτικὰ ὑπαχθήσεται ὅλως πρόσωπα, οὔτε μὴν ἐξόριστός τις πεμφθήσεται πώποτε ἐν

αὐτοῖς, ἀλλ' ἐλευθεριάσουσι καθαρῶς ἄχρι παντὸς αἰῶνος, καὶ πλουτήσουσι διὰ τῆσδε τῆς εὐσεβοῦς χρυσοβούλλου γραφῆς τὸ αὐτοδέσποτόν τε καὶ ἐλευθέριον. ἐξκουσσευθήσεται μέντοι ἥ τε ῥηθεῖσα ἅπασα νῆσος καὶ αὐτὴ ἡ μονὴ μετὰ τῶν ὑπ' αὐτὴν πάντων ἀπό τε μιτάτων ἀρχόντων ταγματικῶν καὶ θεματικῶν, ῥωμαϊκῶν τε καὶ παραταγῶν καὶ ἐθνικῶν, ἔτι τε Ῥώσων, Βαράγγων, Κουλπίγγων, Ἰγγλίνων, Φράγγων, Νεμίτσων, Βουλγάρων, Σαρακηνῶν, Ἀλανῶν, Ἀβασγῶν, Ἀθανάτων καὶ λοιπῶν ἁπάντων Ῥωμαίων τε καὶ ἐθνικῶν, ἀντιμιτατατικίων, φραγγιατῶν, ἀπομιτάτων, ἀπλήκτων ἢ μεσαπλήκτων κριτῶν, στρατηγῶν, ἀπαιτητῶν καὶ τῆς ὑπὲρ τῶν ἀπλήκτων χορηγίας χρειῶν, ἐπιθέσεως μονοπροσώπων, δόσεως κανισκίων ἢ ἀντικανίσκων, σιταρκήσεως κάστρων, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβωρδωνίων, ἵππων, παριππίων, κηλωνίων, ὀνοκηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, ἀγελάδων, βουβαλίων, λαγωῶν, ἐλάφων, κυνῶν λακωνικῶν ἢ ποιμενικῶν καὶ λοιπῶν τετραπόδων ζώων, χηνῶν, νηττῶν, περδίκων, ταώνων, γεράνων, κύκνων, φασιανῶν, ὀρνίθων ἀγρίων ἢ χειροήθων, περιστερῶν καὶ λοιπῶν πτηνῶν καὶ τῶν ἐξ αὐτῶν πάντων ὠῶν, παροχῆς γεννήματος ἐξ ἀγορασίας γεγενημένου, δόσεως πάκτου ἢ χωροπάκτου, χρείας κριτῶν ἢ πρωτονοταρίων ἢ ἑτέρων πρακτόρων ἢ ἀρχόντων, οἰκομόδου, προσόδου ἀερικοῦ, καπνικῶν, ἀερικοπρατῶν, κωμοδρομικοῦ, συνωνῆς, καστροκτισίας, ὁδοστρωσίας, γεφυρῶν, παροικιατικοῦ, ἐννομίου, φραγγομιτάτου, φραγετικοῦ, σιδήρου ἢ καρφοπετάλων καὶ μαζίου, ἐκβολῆς χρειῶν τῶν χορηγουμένων δικασταῖς ἢ πράκτορσιν ἢ ἑτέροις ἄρχουσι, δουξί, κατεπάνοις, στρατηγοῖς, ἀπαιτηταῖς καὶ λοιποῖς, πρέσβευσιν ἐθνῶν διερχομένοις ἢ καὶ στρατιᾷ τινι, δόσεως προσκυνητικίου, ἐκβολῆς χορτασμάτων, διατροφῆς πρωτοκεντάρχων, προελευσιμαίων, βεστιαριτῶν, μανδατόρων τοῦ δρόμου πρέσβεις ἀγόντων ἢ ἐξορίστους ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, βασιλικῶν ἀνθρώπων ἐπί τινας ἀποστελλομένων δουλείας τοῦ δημοσίου, ἐκδανεισμοῦ γεννήματος, οἴνου, κρεῶν, τυρίων καὶ ἑτέρων παντοίων εἰδῶν, ἐξοπλίσεως πλωΐμων, τοξοτῶν, ἱπποτοξοτῶν, ματζουκάτων, κονταράτων καὶ ἑτέρων στρατιωτῶν, ἐξωνήσεως ζευγαρίων, σίτου, κριθῆς, βρώμου, ἐλαίου, ὀσπρίων παντοίων καὶ κέγχρου, λιναρίου καὶ τοῦ τούτου σπέρματος, καννάβεως καὶ τῶν ἄλλων σπερμάτων, κηρίου ἢ μέλιτος παροχῆς, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς ἢ μετακομιδῆς ἑτέρου εἴδους κτίσεως χελανδίων, ἀγραρίων, ζερμώνων πολεμικῶν, χαρβιῶν καὶ λοιπῶν ἄλλων, πρίσεως σανίδων, φοσσάτου διατροφῆς καὶ ἀπλήκτου ἐπὶ πόλεμον ἀπιόντος ἢ καὶ ὑποστρέφοντος, καθίσματος καὶ ὑποδοχῆς τῶν ἐν ὑπεροχαῖς ἀρχόντων, δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν, κριτῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς

ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, ἐξισωτῶν, δικαιοφυλάκων, συνωναρίων, ὡρειαρίων, τοποτηρητῶν, ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων, παραφυλάκων καὶ παντὸς ἑτέρου δουλείαν τοῦ δημοσίου μεταχειριζομένου, ἀγγαρείας, παραγγαρείας, ψωμοζημίας καὶ λοιπῆς ἁπάσης ἐπηρείας τε καὶ κακώσεως νῦν τε οὔσης καὶ ἐσύστερον ἐπινοηθησομένης, καθὼς ἂν ὁ καιρὸς καὶ τὰ πράγματα ἐπιζητοῖεν γίνεσθαι. διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν, κουρατορίων εἰδικῶν, γηροτρόφων, ὀρφανοτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ Φύλακος, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθερίου καὶ τῶν Μαγγάνων, οἰκιστικῶν καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐπ' ἀδείας ἔχειν ἀθετεῖν μερικῶς ἢ καθ' ὁλόκληρον τὸν παρόντα εὐσεβῆ χρυσόβουλλον λόγον τῆς βασιλείας μου γεγενημένον κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς ἑνδεκάτης ἰνδικτιῶνος τοῦ ͵ϛφϟϛ' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀλέξιος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Κομνηνός †.

*Primus edidit ex exemplari minus correcto L. Ross: Reisen auf den griechischen Inseln des ägäischen Meeres, Stuttgart, 1840—1845. II. p. 179; iterum C. E. Zachariae a Lingenthal, Ius graeco-rom. III. p. 870; fratres Kaliga in libro:* Ἱερὰ ἀκολουθία τοῦ ἁγίου πατρὸς ἡμῶν Χριστοδούλου τοῦ θαυματουργοῦ, ἐκδοθεῖσα ὑπὸ Π. καὶ Μ. Καληγᾶ. Ἐν Ἑρμουπόλει, 1843. *Ex archetypo, quod asservatur in tabulario monasterii, I. Sakkelion in periodico, cui titulus* Πανδώρα, *tom. XVII. p. 546, et iterum idem in libro:* Ἀκολουθία ἱερὰ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Χριστοδούλου τοῦ θαυματουργοῦ τοῦ καὶ κτήτορος τῆς ἐν τῇ νήσῳ Πάτμῳ περιωνύμου βασιλικῆς καὶ αὐτοκρατορικῆς μονῆς τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου. Ἔκδοσις τρίτη, ᾗ προσετέθησαν ἡ ὑποτύπωσις αὐτοῦ, ὁ ἐν πλάτει βίος, δύο ἐγκώμια καὶ διήγησις θαύματος αὐτοῦ, νῦν πρῶτον ἐκδιδόμενα ἐπιμελείᾳ καὶ φροντίδι Κυρίλλου ἱεροδιακόνου Βοΐνη τοῦ ἐκ τῆς αὐτῆς μονῆς. *Athenis, 1884. Prologus p. 12—17. Flor. nro 7. (archet.) et nro 8. 9. 47. exemplaria. Nro 42. Flor. adfert aliam auream bullam Alexii I. Comneni membranaceam, de qua scribit:* Χρυσόβουλλον ἐν μεμβράνῃ Ἀλεξίου α' τοῦ Κομνηνοῦ, ἐκδιδόμενον τῷ ͵ϛφϟϛ'. Ἔστι δὲ κίβδηλον,

ὡς ἄριστα εἴκασεν ὁ ἐλλόγιμος κ. Ἰ. Σακκελίων, διότι καὶ ἡ γραφὴ νεωτέρα τῆς τῶν ἄλλων χρυσοβούλλων τοῦ Ἀλεξίου καὶ ἡ ὑπογραφὴ πολὺ ἐξαλλάσσουσα τῆς τοῦ Ἀλεξίου. *Nro 48 exemplaria 4 eiusdem tabulae.*

## XIV. [6596—1088] mense aprili, ind. XI.

*Imperator Alexius I. Comnenus iubet in acta publica referri donationem insulae Patmi factam Sancto Christodulo.*

Τὸ ἴσον τοῦ τιμίου καὶ προσκυνητοῦ βασιλικοῦ πιττακίου τοῦ καταπεμφθέντος εἰς τὸ σέκρετον τῶν οἰκειακῶν καὶ καταστρωθέντος ἐν αὐτῷ κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς ια´ ἰνδικτιῶνος καὶ περιέχοντος οὕτως·

† Ἡ βασιλεία μου ἐδωρήσατο κατὰ τελείαν καὶ ἀναφαίρετον δεσποτείαν τῷ εὐλαβεστάτῳ μοναχῷ καὶ ἡσυχαστῇ κυρῷ Χριστοδούλῳ τῷ Λατρηνῷ τὴν ὅλην νῆσον Πάτμον, ἐποίησε δὲ αὐτῷ καὶ χρυσόβουλλον λόγον, ἐν ᾧ διωρίσατο ἐκκοπῆναι καὶ λογισθῆναι καὶ πάντα τὰ ταύτης δημόσια τέλη καὶ βάρη, ὅσα καὶ οἷά εἰσι, χειρὶ τοῦ πρώτου προέδρου Κωνσταντινουπόλεως καὶ ἐπὶ τῶν δεήσεων τοῦ οἰκείου ἀνθρώπου αὐτῆς, ὡς ἂν ἀτελῶς τε καὶ ἀβαρῶς δεσπόζοι τῆς τοιαύτης γῆς αὐτός τε καὶ οἱ ὑπ' αὐτὸν μοναχοὶ κατὰ τὸ ἀναφαίρετον καὶ κατὰ τὰς ἐγκειμένας τῷ χρυσοβούλλῳ διαστίξεις. καὶ κελεύει ὑμῖν ἐπελθεῖν τὸν τοιοῦτον χρυσόβουλλον λόγον καὶ καταστρῶσαι ἐν τοῖς τῶν ὑφ' ὑμᾶς σεκρέτων χαρτίοις, ποιῆσαι δὲ καὶ ἴσα τοῦ παρόντος πιττακίου καὶ ὑπογράψαι ἐν αὐτοῖς μετὰ τῶν ὑφ' ὑμᾶς σεκρετικῶν καὶ δοῦναι τῷ προδιαληφθέντι ὁσιωτάτῳ μοναχῷ εἰς οἰκείαν ἀσφάλειαν. μηνὶ ἀπριλλίῳ, ἰνδικτιῶνος ἑνδεκάτης † Εἶχε καὶ τὴν διὰ κηροῦ συνήθη σφραγῖδα τοῦ βασιλέως.

† Θεόκτιστος, πρωτοβεστάρχης, κριτὴς καὶ διενεργῶν ἐν τῷ σεκρέτῳ τῶν οἰκειακῶν, ὁ Εὐλαμπὴς †.

† Βασίλειος, πρωτοβεστάρχης, κριτὴς τοῦ βήλου καὶ μέγας χαρτουλάριος τῶν οἰκειακῶν, ὁ Γοργονίτης †.

† Νικηφόρος, πρωτοβεστάρχης καὶ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῶν οἰκειακῶν, ὁ Εὐλαμπὴς †.

† Ἰωάννης, βέστης καὶ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῶν οἰκειακῶν, ὁ Καριανίτης †.

† Βασίλειος, πατρίκιος ὁ Ῥωμανός, ἀπὸ προσώπου Θεοδώρου βασιλικοῦ νοταρίου, τοῦ υἱοῦ μου, ὑπέγραψα †.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε.Υ.Δ. τ.ῦς Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006